BISETVS. Λάζοισθε.] ἡ Λυσιστράτη τὰς γυναῖκας ἁπάσας εἰς ἐκκλησίαν συνελθούσας δηλοῖ τὸν ὅρκον, ὃν αὐτὰς ὁρκοῖ. καὶ ἡ Καλονίκη ὑπὲρ τῶν ἄλλων τοῖς αὐτοῖς χρῆται λόγοις, οἷσπερ ἡ Λυσιστράτη, ἧς τὸν ὅρκον προσταχθέντα λαμβάνει, καὶ κατὰ τὴν αὐτῆς ἐπιταγὴν ὀμνύει καὶ ὑπὲρ αὐτῆς, καὶ ὑπὲρ τῶν λοιπῶν γυναικῶν. λάζοισθε δὲ, λάβοιτε. λάζεσθαι τὸ λαμβάνειν, αἰτιατικῇ παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς τραγικοῖς καὶ γενικῇ ἐν συνθέσει. οἷον, ἀντιλάζου πόνων, καὶ γηραιᾶς χειρὸς προσλαζύμεναι. παρ' Εὐριπίδῃ λέγεται δὲ καὶ λαζύω, καὶ λάζυμι, καὶ λάζυμαι. παρὰ τὸ λάζω, τὸ λαμβάνω. Εὐσταθ. Ἐπομεῖσθε.] ἐπομόσεσθε. καὶ ἐμπεδώσετε, ἔμπεδον, καὶ A βέβαιον ποιήσετε, βεβαιώσετε. ταῦτα δὲ, τὰ αὐτὰ, ἅπερ ἐγὼ λέγω, καὶ ὀμνύω. τὸ δὲ ἐπομεῖσθε δεύτερόν ἐστι πρόσωπον πληθυντικὸν τοῦ β. μέσου μέλλοντος ἐπομοῦμαι, ῇ, εῖται. ὡς παρὰ τὸ ἄχρηστον ὄμω, ὀμῶ, ἀνθ' οὗ ὀμόω, ῶ, ὀμόσω, ἢ ὀμνύω, καὶ ὄμνυμι ἐν χρήσει. Οὐκ ἔστιν οὐδείς.] ἐντεῦθεν ἐξάρχεται τὸ τῆς ὁρκωμοσίας σχημάτιον. διὰ τούτων δὲ αἰνιγματικῶς τὴν συνήθη μοιχείαν, καὶ πορνείαν τῶν ἀκρατῶν γυναικῶν ὁ ποιητὴς δηλοῖ, καὶ ταύτας ὀνειδίζει.

B CHR. Οὐκ ἔστιν οὐδείς.] Veri est simile Comicum non solum ad antiquum iusiurandum, sed ad veteris poetæ versus παρῳδεῖν.

| | |
|---|---|
| Λυ. Ὅς τις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε. | *LVS. Rigente neruo qui mihi accedat. Taces?* |
| Κα. Ὅς τις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαῖ. | *CAL. Rigente neruo qui mihi accedat. Papæ.* |
| Ὑπολύεταί μου τὰ γόνατ' ὦ Λυσιστράτη. | *Genua mihi eheu succidunt, Lysistrata.* |
| Λυ. Οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον. | *LVS. Innupta degam postea ætatem domi.* |
| Κα. Οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον. | *CA. Innupta degam postea ætatem domi.* |
| Λυ. Κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη. | C *LVS. Crocotam amicta, ornata, compta maximè.* |
| Κα. Κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη. | *CAL. Crocotam amicta, ornata, compta maxime.* |
| Λυ. Ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου. | *LVS. Vt vir meus me vehementer ardeat.* |
| Κα. Ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου. | *CAL. Vt vir meus me vehementer ardeat.* |
| Λυ. Κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι. | *LVS. Nec sponte morem coniugi geram meo.* |
| Κα. Κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι. | *CAL. Nec sponte morem coniugi geram meo.* |
| Λυ. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ. | *LVS. Sin forte per vim cogat inuitam ferox.* |
| Κα. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ. | D *CAL. Sin forte per vim cogat inuitam ferox.* |
| Λυ. Κακῶς παρέξω κοὐχὶ προσκινήσομαι. | *LVS. Dabo hoc malignè, nec me habebit mobilem.* |
| Κα. Κακῶς παρέξω κοὐχὶ προσκινήσομαι. | *CAL. Dabo hoc malignè, nec me habebit mobilem.* |
| Λυ. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ περσικά. | *LVS. Neque in lacunar sandala extollam pedum.* |
| Κα. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ περσικά. | *CAL. Neque in lacunar sandala extollam pedum.* |
| Λυ. Οὐ στήσομαι λέαινα ἐπὶ τυροκνήστιδος. | E *LVS. Nec ceu leæna statuar in secespita.* |
| Κα. Οὐ στήσομαι λέαινα ἐπὶ τυροκνήστιδος. | *CAL. Nec ceu leæna statuar in secespita.* |
| Λυ. Ταῦτ' ἐμπεδοῦσα μὲν, πίοιμ' ἐντευθενί. | *LVS. Hæc sanciens firmánsque nunc illinc bibam.* |
| Κα. Ταῦτ' ἐμπεδοῦσα μὲν, πίοιμ' ἐντευθενί. | *CAL. Hæc sanciens firmánsque nunc illinc bibam.* |
| Λυ. Εἰ δὲ παραβαίην ὕδατος ἐμπλησθῇ ἡ κύλιξ. | *LVS. Quod si sciens fallo, impleatur aqua calix.* |
| Κα. Εἰ δὲ παραβαίην ὕδατος ἐμπλησθῇ ἡ κύλιξ. | F *CAL. Quod si sciens fallo, impleatur aqua calix.* |
| Συνεπόμνυσθ' ὑμεῖς ταῦτα πᾶσαι; Μυ. νὴ Δία. | *Et ista vos iuratis? MVR. Ista per Iouem.* |
| Λυ. Φέρ' ἐγὼ καθαγίσω τήνδε. Κα. τὸ μέρος γ' ὦ φίλη. | *LVS. Age ergo libem sacrimam. CA. partem modò* |
| Ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι. | *O chara, amicæ vt simus extemplò inuicem.* |
| Λα. Τίς ἁ ὀλολυγά. Λυ. τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον. | *LA. Quis ille clamor? LVS. Quem tibi antè dixeram,* |
| Αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ | G *Nam fœminæ arcem possidentes Palladis* |

BISETVS. Πρόσεισιν.] προσέρχεται, προσελεύσεται συνουσίας χάριν. ὅπερ φανερὸν ἐκ τοῦ ἐστυκώς. τί δ' ἐστι τὸ στύειν, ὅθεν ἡ μετοχὴ τοῦ παρακειμένου, ἐστυκὼς, ἐστυκότος, καὶ τὸ στύομαι, διὰ πλειόνων ἄνω προείρηται. καὶ Εὐστάθιος ἐν τοῖς ἄστυτος ἐξηγεῖται. Λέγε.] ἡ Καλονίκη ἐκπλαγεῖσα τοῖς τῆς Λυσιστράτης λόγοις, ὡς ἔπειτα ἀποφαίνει ὅταν ἐπιφωνεῖ τό, παπαῖ καὶ τὰ ἑξῆς. μελλητιῶσα ἐσιώπα. διὸ ἡ Λυσιστράτη παρακελεύεται λέγειν. τὸ δὲ πα-